σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ· καὶ τῷ παναγίῳ· καὶ ἀ-
γαθῷ καὶ ζωοποιῷ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:·

Συναξάριον τῇ κυριακῇ γ'· τῶν ἁγίων νηστειῶν τῆς μ.

Προσκυνήσεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ·
ὃν σταυρὸν· ἡ σύμπασα προσκυνησάτω· ἰουπε-
ρέτγω· καὶ σὲ προσκυνῆν ἠνλότε· ἡ αὐτῇ ἡμέρα
κυριακῇ· τρίτῃ τῶν νηστειῶν τὴν προσκύνη-
σιν ἑορτάζομεν· τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ·
δι' αἰτίαν τοιαύτην· ἐπειδὴ γὰρ διὰ τοῦ τεσσαρακον-
θημέρου τῆς νηστείας· τρόπον τινὰ καὶ ἡμεῖς σταυρού-
μεθα· συνεχρούμενοι ἀπὸ τῶν παθῶν· πικρί-
τε ἔαθησιν ἔχομεν· ἀκηδιῶντες· καὶ κατα-
πίπτοντες· προτίθεται ὁ τίμιος καὶ ζωοποιὸς
σταυρὸς· ὡσεὶ ἀναψύχων καὶ στηρίζων ἡμᾶς· καὶ
προμυθούμενος· εἰ ὁ θεὸς ἡμῶν δι' ἐσταυρώθη· πόσον
δι' αὐτὸν ἡμεῖς χρὴ πράττειν· κουφίζονται
τοὺς πόνους ἡμῶν· τῇ παραθέσει τῶν δεσποτι-
κῶν θλίψεων· καὶ τῇ ὑπομνήσει· καὶ ἐλπίδι·
τῆς διὰ σταυροῦ δόξης· ὡς γὰρ ὁ σωτὴρ ἡμῶν ἐπὶ τὸν
σταυρὸν ἀναβὰς· ἐδοξάσθη διὰ τῆς ἀτίμου περι-
ἀγωγῆς· καὶ τοῦ πεῖ οὕτω χρή· καὶ ἡμᾶς πρά-
ττειν· ἵνα καὶ συνδοξασθῶμεν αὐτῷ εἰ καὶ τι-
πέως πάσχωμεν ἀηδὲς καὶ ἄλγος· καθάπερ

UNIVERSITÄTS-
BIBLIOTHEK
HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

© Biblioteca Apostolica Vaticana

The Polonsky Foundation

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_364_2/0072